Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: qvi-ab

*Ὀππιανοῦ Βίοι* · Oppian Lives

# Life of Tzetzes

*Βίος Τζέτζου*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Βίος* Biography
**Format:** *Πεζός* Prose

1 Γένος Ὀππιανοῦ Ὀππιανὸς ὁ ποιητὴς πατρὸς μὲν ἦν Ἀγησιλάου, μητρὸς δὲ Ζηνοδότης, τὸ δὲ γένος ἀπὸ Ἀναζάρβου τῆς Κιλικίας. ὁ δὲ τούτου πατὴρ τά τε ἄλλα πλούσιος ὢν καὶ τῶν ἐν τῇ πολιτείᾳ διὰ τῆς πατρίδος αὐτοῦ πρῶτος νενομισμένος παιδείᾳ τε διαπρέπων καὶ φιλόσοφον βίον ζῶν ἐν τοῖς αὐτοῖς ἤσκησε τὸν υἱὸν παιδεύμασι τὴν ἐγ κύκλιον ἅπασαν παίδευσιν, μουσικήν τε καὶ γεωμετρίαν, μάλιστα δὲ καὶ γραμματικήν. ἤδη δὲ Ὀππιανοῦ περὶ τριάκοντα ἔτη γεγονότος, ἐπεδήμησε τῇ Ἀναζάρβῳ Σεβῆρος ὁ τῶν Ῥωμαίων βασιλεύς· ἐπειδὴ δὲ πάντας τοὺς πολιτευομένους ἀπαντᾶν ἔδει τῷ βασιλεῖ, ἀμελήσαντα τῆς ἀπαντῆς Ἀγησίλαον, ὡς δὲ φιλοσόφως ζῶντα καὶ κενοδοξίας περιφρονοῦντα, χαλεπήνας ὁ βασιλεὺς ἐξώρισεν εἰς Μελίτην νῆσον τοῦ Ἀδρίου, οὗ δὴ συνὼν τῷ πατρὶ ὁ ποιητὴς ἔγραψε ταῦτα τὰ ποιήματα ἀξιολογώτατα ὄντα. ἐπανελθὼν δὲ εἰς Ῥώμην καὶ ἐπ' Ἀντωνίνου τοῦ υἱοῦ Σεβήρου παρελθὼν αὐτός—ὁ γὰρ Σεβῆρος ἐτεθνήκει—ἠξιώθη λαβεῖν ὃ ἂν βούλοιτο. ὁ δὲ κάθοδον τῷ πατρὶ ᾔτησε, τυχὼν δὲ προσέλαβεν ἑκάστου ἔπους χρυσοῦ νόμισμα. ἐπανελθὼν δὲ ἅμα τῷ πατρί, λοιμοῦ ἐμπεσόντος τῇ Ἀναζάρβῳ, μετ' ὀλίγον χρόνον τελευτᾷ, οἱ δὲ πολῖται θάψαντες αὐτὸν ἄγαλμα αὐτῷ πολυτελὲς ἀνέστησαν καὶ ἐπέγραψαν· Ὀππιανὸς κλέος εἷλον ἀοιδέων, ἀλλά με Μοίρης βάσκανος ἐξήρπαξε μίτος κρυερὸς Ἀΐδης τε, καὶ νέον ὄντα κατέσχε τὸν εὐεπίης ὑποφήτην. εἰ δὲ πολύν με χρόνον μίμνειν φθόνος αἰνὸς εἴασεν, οὐκ ἄν τις ἶσον κλέος ἔλλαχεν ἐν χθονὶ φωτῶν. ἔγραψε δὲ καὶ ἄλλα ποιήματα λεπτὰ ζήσας ἔτη τριάκοντα. πολὺ δὲ ἔχει τὸ ἀνθηρὸν καὶ λεῖον μετὰ τοῦ πυκνοῦ τε καὶ ἁδροῦ, ὅπερ ἐστὶ τὸ δυσχερέστατον, τυγχάνει δὲ μάλιστα ἐν ταῖς γνωμολογίαις τε καὶ παραβολαῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org